μήσουσιν οἱ ἐκλεκτοί μου καὶ οἱ δοῦλοί μου καὶ κατοικήσουσιν
ἐκεῖ. [10]καὶ ἔσονται ἐν τῷ δρυμῷ ἐπαύλεις ποιμνίων καὶ φάραγξ 10
Αχωρ εἰς ἀνάπαυσιν βουκολίων τῷ λαῷ μου, οἳ ἐζήτησάν με.
[11]ὑμεῖς δὲ οἱ ἐγκαταλιπόντες με καὶ ἐπιλανθανόμενοι τὸ ὄρος τὸ 11
ἅγιόν μου καὶ ἑτοιμάζοντες τῷ δαίμονι τράπεζαν καὶ πληροῦντες
τῇ τύχῃ κέρασμα, [12]ἐγὼ παραδώσω ὑμᾶς εἰς μάχαιραν, πάντες ἐν 12
σφαγῇ πεσεῖσθε, ὅτι ἐκάλεσα ὑμᾶς καὶ οὐχ ὑπηκούσατε, ἐλάλησα
καὶ παρηκούσατε καὶ ἐποιήσατε τὸ πονηρὸν ἐναντίον ἐμοῦ καὶ ἃ
οὐκ ἐβουλόμην ἐξελέξασθε.

[13]Διὰ τοῦτο τάδε λέγει κύριος Ἰδοὺ οἱ δουλεύοντές μοι φάγον- 13
ται, ὑμεῖς δὲ πεινάσετε· ἰδοὺ οἱ δουλεύοντές μοι πίονται, ὑμεῖς
δὲ διψήσετε· ἰδοὺ οἱ δουλεύοντές μοι εὐφρανθήσονται, ὑμεῖς δὲ
αἰσχυνθήσεσθε· [14]ἰδοὺ οἱ δουλεύοντές μοι ἀγαλλιάσονται ἐν εὐ- 14
φροσύνῃ, ὑμεῖς δὲ κεκράξεσθε διὰ τὸν πόνον τῆς καρδίας ὑμῶν
καὶ ἀπὸ συντριβῆς πνεύματος ὀλολύξετε. [15]καταλείψετε γὰρ τὸ 15
ὄνομα ὑμῶν εἰς πλησμονὴν τοῖς ἐκλεκτοῖς μου, ὑμᾶς δὲ ἀνελεῖ
κύριος. τοῖς δὲ δουλεύουσιν αὐτῷ κληθήσεται ὄνομα καινόν, [16]ὃ 16
εὐλογηθήσεται ἐπὶ τῆς γῆς· εὐλογήσουσιν γὰρ τὸν θεὸν τὸν ἀλη-
θινόν, καὶ οἱ ὀμνύοντες ἐπὶ τῆς γῆς ὀμοῦνται τὸν θεὸν τὸν ἀλη-
θινόν· ἐπιλήσονται γὰρ τὴν θλῖψιν αὐτῶν τὴν πρώτην, καὶ οὐκ
ἀναβήσεται αὐτῶν ἐπὶ τὴν καρδίαν. — [17]ἔσται γὰρ ὁ οὐρανὸς και- 17
νὸς καὶ ἡ γῆ καινή, καὶ οὐ μὴ μνησθῶσιν τῶν προτέρων, οὐδ᾽ οὐ
μὴ ἐπέλθῃ αὐτῶν ἐπὶ τὴν καρδίαν, [18]ἀλλ᾽ εὐφροσύνην καὶ ἀγαλ- 18
λίαμα εὑρήσουσιν ἐν αὐτῇ· ὅτι ἰδοὺ ἐγὼ ποιῶ Ιερουσαλημ ἀγαλ-
λίαμα καὶ τὸν λαόν μου εὐφροσύνην. [19]καὶ ἀγαλλιάσομαι ἐπὶ Ιερου- 19
σαλημ καὶ εὐφρανθήσομαι ἐπὶ τῷ λαῷ μου, καὶ οὐκέτι μὴ ἀκουσθῇ
ἐν αὐτῇ φωνὴ κλαυθμοῦ οὐδὲ φωνὴ κραυγῆς. [20]καὶ οὐ μὴ γένηται 20
ἐκεῖ ἄωρος καὶ πρεσβύτης, ὃς οὐκ ἐμπλήσει τὸν χρόνον αὐτοῦ·
ἔσται γὰρ ὁ νέος ἑκατὸν ἐτῶν, ὁ δὲ ἀποθνήσκων ἁμαρτωλὸς ἑκα-
τὸν ἐτῶν καὶ ἐπικατάρατος ἔσται. [21]καὶ οἰκοδομήσουσιν οἰκίας καὶ 21
αὐτοὶ ἐνοικήσουσιν, καὶ καταφυτεύσουσιν ἀμπελῶνας καὶ αὐτοὶ φά-
γονται τὰ γενήματα αὐτῶν· [22]καὶ οὐ μὴ οἰκοδομήσουσιν καὶ ἄλλοι 22
ἐνοικήσουσιν, καὶ οὐ μὴ φυτεύσουσιν καὶ ἄλλοι φάγονται· κατὰ

9 και ult. > A || 11 και 2⁰ > S*† | δαιμονιω BA || 12 παντες] pr. και S*† = 𝔐 | εν > S*L* || 13 διψησεσθαι S*A† || 14 υμων] post πνευμ. tr. B†, post καρδ. et post πνευμ. hab. *C* | ολολυζετε S*† || 15 κατελ(ε)ιψατε *QC* | αυτω AQ = 𝔐] μοι BS*LC* | καινον] αιωνιον S*† || 16 αυτων paenult. > BV† || 17 ουδ ου μη] ουδε μη S*L*: cf. 8 12 || 18 αυτη] + οσα εγω κτιζω *L* (in *O* sub ※) | οτι > S*A† | ιερουσ.] pr. την *L* (in *O* sub ※) || 19 επι 1⁰] εν S*† | αυτη] -τω S† | ουδε AQS^c*C*] και BS**L* || 20 και ου μη γενηται AQS^c*L*] και ουκετι μη γεν. S*†, ουδ ου μη γεν. ετι B, ουδε μη γεν. *C* | αωρος] + ημεραις *L* (in *O* sub ※) | νεος] + υιος *L* (in *O* sub ※) | εσται ult.] -τιν A† || 22 και 1⁰ AQ*C*] > BS*L* = 𝔐